λόγου ἄρχεσθαι ἐντεῦθεν· „Παρ' οὐδενὸς μὲν πώπο-
„τε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἰατρικὴν τέχνην ἔμα-
„θον, οὐδ' ἐζήτησα διδάσκαλον ἐμαυτῷ γενέσθαι τῶν
„ἰατρῶν οὐδένα· διατετέλεκα γὰρ φυλαττόμενος οὐ
„μόνον τὸ μαθεῖν τι παρὰ τῶν ἰατρῶν, ἀλλὰ καὶ
„τὸ δόξαι μεμαθηκέναι τὴν τέχνην ταύτην. ὅμως δέ
„μοι τὸ ἰατρικὸν ἔργον δότε· πειράσομαι γὰρ ἐν ὑμῖν
„ἀποκινδυνεύων μανθάνειν.“ Πάντες οὖν οἱ παρόντες
6 ἐγέλασαν ἐπὶ τῷ προοιμίῳ. Ἐπεὶ δὲ φανερὸς ἦν
ὁ Εὐθύδημος ἤδη μὲν, οἷς ὁ Σωκράτης λέγοι, προσέ-
χων, ἔτι δὲ φυλαττόμενος αὐτός τι φθέγγεσθαι,
καὶ νομίζων τῇ σιωπῇ σωφροσύνης δόξαν περιβάλλε-
σθαι, τότε ὁ Σωκράτης, βουλόμενος αὐτὸν παῦσαι
τούτου, Θαυμαστὸν γὰρ, ἔφη, τί ποτε, οἱ βουλόμε-
νοι κιθαρίζειν ἢ αὐλεῖν ἢ ἱππεύειν ἢ ἄλλο τι τῶν τοιού-
των ἱκανοὶ γενέσθαι, πειρῶνται ὡς συνεχέστατα ποιεῖν
ὅ τι ἂν βούλωνται δυνατοὶ γενέσθαι καὶ οὐ καθ' ἑαυ-
τοὺς, ἀλλὰ παρὰ τοῖς ἀρίστοις δοκοῦσιν εἶναι πάντα
ποιοῦντες καὶ ὑπομένοντες ἕνεκα τοῦ μηδὲν ἄνευ τῆς
ἐκεί-

τῷ μαθεῖν τι παρὰ τῶν ἰατρῶν οὐδένα.

*ἐν ὑμῖν ἀποκινδυνεύων*] Eleganter et apposite ad hunc locum Plinius H. N. XXIX, 1: *Discunt periculis nostris, et experimenta per mortes agunt: Medicoque tantum hominem occidisse impunitas summa est. Ruhnk.*

§. 6. *πειρῶνται — καὶ οὐ καθ' ἑαυτοὺς*] Lectio vitiosa Aldinae, quae recentiores obsedit libros, *μὴ πειρῶνται — καὶ καθ' ἑαυτοὺς*, valde exercuit interpretes. Leonclauius quidem pro *συνεχέστατα* corrigit *ἀμελέστατα*, satis inepte. Stephanus propius ad rem accedit; nam vult deleri *μὴ*, et postea reponi *καὶ μὴ μόνον καθ' ἑαυτοὺς*. Sed *μόνον* illud turbat sensum: certe ita post *ἀλλὰ* reponendum foret *καὶ*. Simsonus opinatur, *καὶ* esse delendum ante *καθ' ἑαυτοὺς*. Ernestus censet *συνεχέστατα* h. l. non esse *frequentissime*, sed *παραχρῆμα*, *statim a consilio capto, e vestigio, nullo interuallo facto*, ac respondere *τῷ ἐξαίφνης*, vt *καθ' αὑτοὺς τῷ αὐτόματοι*. Sed primum haec *τοῦ συνεχέστατα* significatio est noua et inaudita, tum pro *καὶ καθ' ἑ.* certe deberet legi *μηδὲ καθ' ἑ.* Igitur nos auctoritate Iunt., lectionis Brodaei et Bessarionis istud *μὴ* deleuimus, vt Stephanus Ruhnkeniusque dudum suaserunt, atque post *καὶ* reposuimus *οὐ* ex ed. Cast., lectione Brodaei Bessarionisque et ex MS. Vossiano. Ita omnia sunt facilia et bene cohaerent. Nam v. c. *οὐ καθ' ἑαυτοὺς* recte opponitur *παρὰ τοῖς ἀρίστοις δοκοῦσιν εἶναι*, et *τῷ αὐτόματοι*: similiter *ὡς συνεχέστατα ποιεῖν* opponitur *τῷ ἄνευ παρασκευῆς καὶ ἐπιμελείας ἐξαίφνης*. Ita etiam Edwards.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/256 gefördert von der Deutschen Forschungsgemeinschaft DFG